# Anaximenés

## ᾿Αναξιμένης

Fragmenta DK 13 B

**B 1** = Plútarchos, *De primo frigido* 7; 947f1–948a9

ἢ καθάπερ ᾿Αναξιμένης ὁ παλαιὸς ᾤιετο, μήτε τὸ ψυχρὸν ἐν οὐσίαι μήτε τὸ θερμὸν ἀπολείπωμεν, ἀλλὰ πάθη κοινὰ τῆς ὕλης ἐπιγιγνόμενα ταῖς μεταβολαῖς· τὸ γὰρ συστελλόμενον αὐτῆς καὶ πυκνούμενον ψυχρὸν εἶναί φησι, τὸ δ᾿ ἀραιὸν καὶ τὸ **χαλαρὸν** (οὕτω πως ὀνομάσας καὶ τῶι ῥήματι) θερμόν. ὅθεν οὐκ ἀπεικότως λέγεσθαι τὸ καὶ θερμὰ τὸν ἄνθρωπον ἐκ τοῦ στόματος καὶ ψυχρὰ μεθιέναι· ψύχεται γὰρ ἡ πνοὴ πιεσθεῖσα καὶ πυκνωθεῖσα τοῖς χείλεσιν, ἀνειμένου δὲ τοῦ στόματος ἐκπίπτουσα γίγνεται θερμὸν ὑπὸ μανότητος. τοῦτο μὲν οὖν ἀγνόημα ποιεῖται τοῦ ἀνδρὸς ὁ ᾿Αριστοτέλης (*Problemata* 34,7; 964a10) ἀνειμένου γὰρ τοῦ στόματος ἐκπνεῖσθαι τὸ θερμὸν ἐξ ἡμῶν αὐτῶν, ὅταν δὲ συστρέψαντες τὰ χείλη φυσήσωμεν, οὐ τὸν ἐξ ἡμῶν, ἀλλὰ τὸν ἀέρα τὸν πρὸ τοῦ στόματος ὠθεῖσθαι ψυχρὸν ὄντα καὶ προσεμπίπτειν.

Viz Aisópos 60 Chambry (= 35 Hausrath–Hunger):
ἐκ τοῦ αὐτοῦ στόματος τὸ θερμὸν καὶ τὸ ψυχρὸν ἐξιεῖς.

Viz Platón, *Timaeus* 79de.

**B 2** = Áetios I,3,4 Diels

᾿Αναξιμένης Εὐρυστράτου Μιλήσιος ἀρχὴν τῶν ὄντων ἀέρα ἀπεφήνατο· ἐκ γὰρ τούτου πάντα γίγνεσθαι καὶ εἰς αὐτὸν πάλιν ἀναλύεσθαι.
**οἷον ἡ ψυχή**, φησίν, **ἡ ἡμετέρα ἀὴρ οὖσα συγκρατεῖ ἡμᾶς,**
**καὶ ὅλον τὸν κόσμον πνεῦμα καὶ ἀὴρ περιέχει**
(λέγεται δὲ συνωνύμως ἀὴρ καὶ πνεῦμα). ἁμαρτάνει δὲ καὶ οὗτος ἐξ ἁπλοῦ καὶ μονοειδοῦς ἀέρος καὶ πνεύματος δοκῶν συνεστάναι τὰ ζῷια· ἀδύνατον γὰρ ἀρχὴν μίαν τὴν ὕλην τῶν ὄντων ὑποστῆναι, ἀλλὰ καὶ τὸ ποιοῦν αἴτιον χρὴ ὑποτιθέναι· οἷον ἄργυρος οὐκ ἀρκεῖ πρὸς τὸ ἔκπωμα γενέσθαι, ἐὰν μὴ τὸ ποιοῦν ἦι, τουτέστιν ὁ ἀργυροκόπος· ὁμοίως καὶ ἐπὶ τοῦ χαλκοῦ καὶ τοῦ ξύλου. καὶ τῆς ἄλλης ὕλης.

**B 2a** = Áetios II,22,1 Mansfeld–Runia = A 15 /2

᾿Αναξιμένης ... **πλατὺν ὡς πέταλον** τὸν ἥλιον.

**B 3** = Olympiodóros, *De arte sacra lapidis philosophorum* c. 25 (Berthelot, *Coll. Alchym. gr.* I,2; p. 83,7)

μίαν δὲ κινουμένην ἄπειρον ἀρχὴν πάντων τῶν ὄντων δοξάζει ᾿Αναξιμένης τὸν ἀέρα. λέγει γὰρ οὕτως·
ἐγγύς ἐστιν ὁ ἀὴρ τοῦ ἀσωμάτου·
καὶ ὅτι κατ᾿ ἔκροιαν τούτου γινόμεθα,
ἀνάγκη αὐτὸν καὶ ἄπειρον εἶναι
καὶ πλούσιον διὰ τὸ μηδέποτε ἐκλείπειν.